# TEZAUR LITURGIC

## 28 IULIE
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# PARACLISUL SF.APOSTOL PROHOR AL NICOMIDIEI

ATENA,2020


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ΕΚΚΛΗCΙΑC ΤΗC ΕΛΛΑΔΟC

# 28 ΙΟΥΛΙΟΥ
# ΠΡΟΧΟΡΟΣ ΔΙΑΚΟΝΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν:
Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.
Ἤ μή ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ψαλμός ρμβ’ (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
Θεός Κύριος καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α’. Ἐξολολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.
Στίχ. β’. Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ’. Παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Διακονίας διαπρέψας τοῖς ἔργοις, ὡς ἐνδιαίτημα σεπτὸν τῆς ἀγάπης, ἀξίως τὸ διάδημα ἐδέξω τῆς ζωῆς, ὅθεν μάκαρ Πρόχορε, εὐλαβῶς σὲ τιμῶμεν, καὶ τὴν θείαν μνήμην σου, ἐκτελοῦντες βοῶμεν· ταῖς ἱεραῖς λιταῖς σου πρὸς Θεόν, σῶζε ἡμᾶς θλιβερῶν περιστάσεων.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε...

Ψαλμός ν' (50).

Εἶτα, ὁ Κανὼν τοῦ Ἀποστόλου, φέρων ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις: Κυρίλλου.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Διάκονε Πρόχορε τοῦ Θεοῦ, δέχου τὰς δεήσεις, τοῦ ἱκέτου σου εὐμενῶς, καὶ δίδου αὐτῷ πλουσιοδώρως, τὰ τῆς εὐνοίας σου θεία δωρήματα.
Παθῶν με ἡ ἔφοδος ἀπειλεῖ, καὶ πρὸς ἀπωλείας, τὰς ἀβύσσους μὲ ἐξωθεῖ, σὺ δὲ τῇ ἁγίᾳ χάριτί σου, ἐλέησόν με μακάριε Πρόχορε.
Σκανδάλων με ῥῦσαι τῶν κοσμικῶν, συστροφῶν ἐκτόπων, καὶ κακίστων ἐπιφορῶν, τῇ σῇ πρὸς τὸν Κύριον πρεσβείᾳ, τῶν Διακόνων ἀγλάϊσμα Πρόχορε.

Θεοτοκίον.
Κατάρδευσον ὕδατι μυστικῷ, Ἄχραντε Μαρία, τῶν ἀφράστων Σου δωρεῶν, πλουσίως ψυχάς τε καὶ καρδίας, τῶν προσκυνούντων τὸν ἅγιον Τόκον Σου.

ᾨδὴ γ΄. Οὐρανίας ἀψίδος
Συνοδίτης ἐδείχθης καὶ βοηθὸς ἔμπιστος, τοῦ ἠγαπημένου τῷ Λόγῳ κήρυκος Πρόχορε, ὅθεν ἀεὶ σὺν αὐτῷ, ἡμᾶς ἐπόπτευε πάντας, τοὺς πιστῶς προστρέχοντας, τῇ προστασίᾳ σου.
Ἁμαρτίας τῷ βέλει κατατρωθεὶς Πρόχορε, πρὸς σὲ καταφεύγω στενάζων, μὴ οὖν παρίδης με, ἀλλὰ ἱλέωσαι, ἡμῖν Θεὸν ταῖς εὐχαῖς σου, ὡς Αὐτοῦ τοῖς ἔθνεσιν, κήρυξ γενόμενος.
Τὸν Χριστὸν παροργίζων τοῖς μιαροῖς ἔργοις μου, τρέμω κατ᾿ ἐμοῦ τὴν δικαίαν Αὐτοῦ ἀπόφασιν, ὅθεν συνήγορος, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, φάνηθί μοι Πρόχορε, ὡς συμπαθέστατος.
Θεοτοκίον.
Ὑπεράμωμε Κόρη ὁ Λυτρωτὴς Κύριος, σάρκα προσλαβὼν ἀπορρήτως, ἐκ τῶν αἱμάτων Σου, Ἀδὰμ ἀνέσωσεν, ἐκ τῆς φρικτῆς καταδίκης, καὶ ἡμῶν Σὲ ἔδειξεν, θεῖον ὑπέρμαχον.

Διάσωσον, τοὺς τῇ σεπτῇ σου προστρέχοντας ἀντιλήψει, τῶν Διακόνων τὸ κλέος ὦ Πρόχορε, τῶν ἐν τῷ βίῳ ποικίλων πειρατηρίων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.
Χριστοῦ ἀληθὴς τοῖς τρόποις σου Διάκονος, θεόφρον δειχθείς, ὡς ἔμπλεως φρονήσεως, ἐν ὑψίστοις ἔτυχες, μυστικῶς τῆς γλυκείας μεθέξεως, ὅθεν ταῖς σαῖς πρεσβείαις πρὸς Θεόν, χορήγει ἡμῖν χάριν καὶ ἔλεος.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.
Ἐναρέτως ἀξίωσον, μάκαρ πολιτεύεσθαι τὸν ἱκέτην σου, τῇ ἁγίᾳ ἀντιλήψει σου, τοῦ Κυρίου Ἀπόστολε Πρόχορε.
Νυσταγμῷ ἀπογνώσεως, Πρόχορε κρατούμενον τὸν ἱκέτην σου, ἐπισκέψει τῆς σῆς χάριτος, συμπαθὴς ὡς ὑπάρχων ἐλέησον.
Χαλεπῶν ἐκ κινδύνων με, νόσων τε πταισμάτων καὶ περιστάσεων, μάκαρ Πρόχορε διάσωσον, ὡς πλουτῶν πρὸς ἀνθρώπους συμπάθειαν.
Θεοτοκίον.
Ῥώμην δίδου ἑκάστοτε, τοῦ πατεῖν τὰς πάγας τοῦ πολεμήτορος, τοῖς ὑμνοῦσι τὴν λοχείαν Σου, Θεοτόκε δι’ ἧς ἐλυτρώθημεν.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.
Πάθεσιν πολλοῖς, παναθλίως ῥιπιζόμενον, τῆς σῆς χάριτος θερμῇ ἐπισκοπῇ, τὸν ἱκέτην σου διάσωσον ὦ Πρόχορε.
Ἔχοντες θερμόν, πρεσβευτήν σε πρὸς τὸν Κύριον, εὐφημοῦμέν σε ὦ Πρόχορε λαμπρῶς, ὡς ἀσφάλεια ἡμῶν καὶ καταφύγιον.
Πάτμος ἱερῶς, ἐν τῇ μνήμῃ σου χορεύουσα, τῆς εὐνοίας σου λαμβάνει δαψιλῶς, μάκαρ Πρόχορε τὰ πλούσια δωρήματα.
Θεοτοκίον.
Ἵλεων ἡμῖν, τοῖς ἀμέτρως ἁμαρτάνουσι, τὸν ἐκ Σοῦ ἐνανθρωπήσαντα φρικτῶς, Θεοτόκε ἀειπάρθενε ἀπέργασαι.

Ὠδὴ στ΄. Τὴν δέησιν.
Δρεψάμενος, τῆς ζωῆς τῶν χαρίτων, ἐν Σιὼν τῶν πρωτοτόκων θεόφρον, τὰς τῆς ζωῆς μοι ὑπάνοιξον πύλας, ταῖς πρὸς Θεὸν μεσιτείαις σου Πρόχορε, σὺ γὰρ ὑπάρχεις συμπαθής, τοῖς τῇ σῇ ἀντιλήψει προστρέχουσι.
Τοῦ ἄρχοντος, τῆς εἰρήνης τῷ θρόνῳ, ἐν ὑψίστοις παρεστὼς στεφηφόρος, ἡμῖν εἰρήνην ἐξαίτει βαθεῖαν, καὶ ἐν τῷ βίῳ εὐστάθειαν Πρόχορε, ἵνα ὑμνοῦμέν σε ἀεί, ὡς λαμπρὸν Διακόνων ἀγλάϊσμα.
Εὐΐλατον, τὸν Θεόν μοι παράσχου, σαῖς ἁγίαις πρὸς Αὐτὸν ἱκεσίαις, καὶ γὰρ ἀσώτως διάγω τὸν βίον, ἐν

ἀφροσύνῃ τελείᾳ ὦ Πρόχορε, μὴ οὖν παρίδης τὴν φωνήν, τοῦ τῇ μεσιτείᾳ ἐλπίζοντος.
Θεοτοκίον.
Λιμένα Σε, τῆς ζωῆς ἀχείμαστον, ἀπειρόγαμε γινώσκομεν πάντες, οἱ ἐν θάλασσῃ ζωῆς τῆς προσκαίρου, ἐπιφοραῖς χαλεπαῖς κινδυνεύοντες, διὸ αἰτούμεθα πιστῶς, τὴν γαλήνην εὑρεῖν τοὺς τιμῶντάς Σε.

Διάσωσον, τοὺς τῇ σεπτῇ σου προστρέχοντας ἀντιλήψει, τῶν Διακόνων τὸ κλέος ὦ Πρόχορε, τῶν ἐν τῷ βίῳ ποικίλων πειρατηρίων.
Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β᾽. Τὴν ἐν πρεσβείαις.
Ὁ ἐν ὑψίστοις χορεύων σὺν Ἀποστόλοις, καὶ τὰς ᾠδὰς ἀναπέμπων σὺν Ἀρχαγγέλοις, τῷ ἐν Τριάδι ὑμνουμένῳ Θεῷ, Αὐτὸν ἀεὶ δυσώπει, ὑπὲρ ἡμῶν ὦ Πρόχορε, τῶν πίστει θερμῇ ἀνευφημούντων σε.

Τὸ α᾽ ἀντίφωνον τοῦ δ᾽ ἤχου.
Προκείμενον: Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.
Στ.: Οἱ ουρανοῖ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ Αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Εὐαγγέλιον κατὰ Λουκᾶν. Ζήτει αὐτὸ τῇ Παρασκευῇ τῆς Ε’ ἑβδομάδος Λουκᾶ.
Ὁ Ν΄ ψαλμός.
Δόξα: Ταῖς τοῦ Ἀποστόλου...
Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...
Προσόμοιον. Ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.
Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Ὁ συγκοινωνός, μαθητοῦ τοῦ Θεολόγου, ὁ διὰ Χριστόν, εὐσεβῶς διακονήσας, τῷ δήμῳ τῶν Ἁγίων, παμμακάριστε Πρόχορε, πρόσδεξαι ἡμῶν νῦν τὰς δεήσεις, κἂν ἐκ χειλέων ἀκαθάρτων, καὶ δὸς ἅπασι, τοῖς καταφεύγουσι τῇ σῇ, πρεσβείᾳ τὰ συμφέροντα.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.
Πάντα πληρώσας τοῦ Κυρίου, τὰ θελήματα νοῒ τελειώτατῳ, τῆς ἀψεύστου ζωῆς, ἐπέτυχες ἐν δόξῃ, ἧς καὶ ἡμᾶς ὦ Πρόχορε, καταξίωσον εὐχαῖς σου.
Δίδου ἰσχύν μοι τοῦ βαδίζειν, τὴν τοῦ βίου μου ἐπίπονον πορείαν, δίδου γνῶσιν σοφέ, τοῦ γνῶναί με Κυρίου, τὸ θέλημα ἑκάστοτε, ἵνα τύχω σωτηρίας.
Ῥῦσαι ποικίλων συμπτωμάτων, πειρασμῶν καὶ ἀδοκήτων νοσημάτων, τοὺς τῇ σῇ εὐλαβῶς, προστρέχοντας πρεσβείᾳ, ὦ Πρόχορε μακάριε, Διακόνων ἡ λαμπρότης.
Θεοτοκίον.
Λύσιν πταισμάτων μου ἐξαίτει, ἀπειρόγαμε ἁγνὴ Θεοκυῆτορ, καὶ ὁδηγεὶ ἀεί, τῇ σῇ χειραγωγίᾳ, ὡς Μήτηρ πολυεύσπλαγχνος, πρὸς ὁδόν με σωτηρίας.

Ὠδὴ η΄. Τὸν Βασιλέα.
Τῶν πρεσβειῶν σου, τῶν ἱερῶν τῷ ἱστίῳ, διαβίβασον ἡμᾶς τοὺς ὑμνητάς σου, Πρόχορε τρισμάκαρ, πρὸς τῆς ζωῆς τὸν ὅρμον.
Ἀνάπλασόν με, ἐπισκοπῇ σου ἁγίᾳ, πρὸς ζωὴν τῶν τῇ κακίᾳ συντριβέντα, Πρόχορε τρισμάκαρ, ἵνα σε μακαρίζω.
Τῶν ἐν τῷ βίῳ, χαλεπωτάτων κινδύνων, ἀσινεῖς παμμάκαρ Πρόχορε συντήρει, τοὺς ἐπιτελοῦντας, τὴν φαεινήν σου μνήμην.
Θεοτοκίον.
Ὅρμος γαλήνης, καὶ ψυχικῆς σωτηρίας, ἀνεδείχθης τῇ λοχείᾳ Σου Μαρία, ὅθεν γεγηθότες, πιστῶς προστρέχομέν Σοι.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Ῥαθύμως μου τὸν βίον, δαπανῶν ὁ τάλας, καθικετεύω σε ἔνδοξε Πρόχορε, πρὸς κατανύξεως τρίβους, καθοδηγῆσαί με.
Ἀτάκτων λογισμῶν μου, Πρόχορε εὐχαῖς σου, τὴν χαλεπὴν τρικυμίαν κατεύνασον, καὶ ἐν γαλήνῃ τὸν βίον, δίδου διάγειν με.
Τὸν πράττοντα τὰ ἔργα, τοῦ σκότους κεκρυμμένως, μὴ φανερῶς με ἐλέγξῃς Φιλάνθρωπε, ταῖς εὐπροσδέκτοις πρεσβείαις τοῦ Ἀποστόλου Σου.

Θεοτοκίον.
Ὑπερευλογημένη, Μῆτερ τοῦ Ὑψίστου, σὺν τῷ Προχόρῳ ἀεὶ καθικέτευε, τὸν διὰ Σοῦ σαρκωθέντα, σῶσαι οὓς ἔπλασεν.

Μεγαλυνάρια.
Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.
Πιστῶν τῷ πληρώματι προκριθείς, ἐκλογῇ ἁγίᾳ, θεομάκαρ διακονεῖν, σῇ διακονίᾳ, ἀξίως ἀνεδείχθης, ὦ Πρόχορε Κυρίου, μιμητὴς ἄριστος.
Τοῦ ἐπιστηθίου τὸν μαθητήν, καὶ αὐτοῦ ἐν πόνοις, τὸν γενναῖον συγκοινωνόν, τὸν Χριστοῦ προθύμως, πληρώσαντα τὸν λόγον, νῦν Πρόχορον ἐν ὕμνοις, πάντες τιμήσωμεν.
Πνεύματος Ἁγίου τὰς δωρεάς, μυστικῶς συλήσας, διὰ βίου σου καθαροῦ, Πρόχορε τρισμάκαρ, τῆς δι᾽ ἡμᾶς τοῦ Λόγου, κενώσεως ἐδείχθης, ῥήτωρ θεόσοφος.
Χαίροις Ἐκκλησίας κλέος λαμπρόν, καὶ τῶν Διακόνων ἐγκαλλώπισμα ἱερόν, χαίροις τῆς φρικώδους, Χριστοῦ οἰκονομίας, Πρόχορε θεοφόρε, κήρυξ ὁ ἔνθεος.

Πάτμος εὐφημεῖ σε χαρμονικῶς, πόθῳ ἐκτελοῦσα, τὴν ἁγίαν σου ἑορτήν, ἣν τοῦ πολεμίου, συντήρει τῶν ἐφόδων, ἀπήμαντον εὐχαῖς σου, ἀπαύστως Πρόχορε. Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Παρακλήτου τὴν χάριν καὶ σοφίας τὴν ελλαμψιν, διὰ πολιτείας ἀμέμπτου, δεδεγμένος ὦ Πρόχορε, ἐκρίθης θεοκρίτῳ ἐκλογῇ, τῷ δήμῳ τῶν πιστῶν διακονεῖν, καὶ ἀνέδειξας τῷ τρόπῳ σου σεαυτόν, ὑπόδειγμα Διακόνων. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ ἡμῖν χάριν καὶ ἔλεος.

Εἶτα ὁ Ἱερεύς τήν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν Κύριε ἐλέησον. Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα καί χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε, αἱ χορεῖαι τῶν πιστῶν, ἐν ἀγαλλιάσει καρδίας, ἀνευφημήσωμεν, Πρόχορον τὸν ἔνδοξον, Χριστοῦ Διάκονον, πρὸς αὐτὸν ἀνακράζοντες, θερμαῖς σου πρεσβείαις, πρὸς Ὃν ἐκ καρδίας σου, θερμῶς

ἀγαπήσας, ῥῦσαι, συμφορῶν ὀλεθρίων, καὶ ἐπιφορῶν ἐπωδύνων, τοὺς τῇ ἀντιλήψει σου προστρέχοντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως. Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

